[illegible]

καὶ ὁ β ἄρα κύβος ἐστίν. καὶ ἐπεί ἐστιν ὡς ἡ μονὰς πρὸς τὸν α, ὁ
α πρὸς τὸν β. ἡ δὲ μονὰς τὸν α μετρεῖ κατὰ τὰς ἐν αὐτῷ
μονάδας, καὶ ὁ α ἄρα τὸν β μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μο-
νάδας. ὁ α ἄρα ἑαυτὸν πολλαπλασιάσας κύβον τὸν
β πεποίηκεν. ἐὰν δὲ ἀριθμὸς ἑαυτὸν πολλαπλα-
σιάσας κύβον ποιῇ
καὶ αὐτὸς κύβος ἔσ-
ται. κύβος ἄρα καὶ
ὁ α. ὅπερ οὐχ ὑπό-
κειται. οὐκ ἄρα ὁ δ
κύβος ἐστίν. ὁμοί-
ως δὴ δείξομεν ὅ-
τι οὐδ' ἄλλος οὐδεὶς
κύβος ἐστὶ χωρὶς τοῦ τετάρτου ἀπὸ τῆς μονάδος καὶ
τῶν δύο διαλειπόντων. ὅπερ ἔδει δεῖξαι :—



ια ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον
ὦσιν. ὁ ἐλάσσων τὸν μείζονα μετρεῖ κατά τινα τῶν ὑ-
παρχόντων ἐν τοῖς ἀνάλογον ἀριθμοῖς. ἔστωσαν
ἀπὸ μονάδος τῆς α ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀ-
νάλογον οἱ β γ δ ε. λέγω ὅτι τῶν β γ δ ε ὁ ἐλάσσων ὁ β
τὸν ε μετρεῖ κατά τινα τῶν γ δ. ἐπεὶ γάρ ἐστιν ὡς ἡ α
μονὰς πρὸς τὸν β, οὕτως ὁ δ
πρὸς τὸν ε, ἰσάκις ἄρα ἡ α
μονὰς τὸν β ἀριθμὸν μετρεῖ
καὶ ὁ δ τὸν ε. ἐναλλὰξ ἄρα
ἰσάκις ἡ α μονὰς τὸν δ



[illegible]

μετρεῖ καὶ ὁ β τὸν ε. ἡ δὲ α μονὰς τὸν δ μετρεῖ κατὰ τὰς ἐν
αὐτῷ μονάδας. καὶ ὁ β ἄρα τὸν ε μετρεῖ κατὰ τὰς ἐν τῷ
δ μονάδας. ὥστε ὁ ἐλάσσων ὁ β τὸν μείζονα τὸν ε με-
τρεῖ κατά τινα ἀριθμὸν τῶν ὑπαρχόντων ἐν τοῖς ἀ-
νάλογον ἀριθμοῖς. ὅπερ ἔδει δεῖξαι :—

ιβ ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον
ὦσιν. ὑφ' ὅσων ἂν ὁ ἔσχατος πρώτων ἀριθμῶν με-
τρῆται, ὑπὸ τῶν αὐτῶν καὶ ὁ παρὰ τὴν μονάδα με-
τρηθήσεται. ἔστωσαν ἀπὸ μονάδος ὁσοιδηποτοῦν
ἀριθμοὶ ἀνάλογον οἱ α β γ δ. λέγω ὅτι ὑφ' ὅσων ἂν ὁ
δ πρώτων ἀριθμῶν μετρῆται, ὑπὸ τῶν αὐτῶν καὶ ὁ
α μετρηθήσεται. μετρείσθω γὰρ ὁ δ ὑπό τινος πρώ-
του ἀριθμοῦ τοῦ ε. λέγω ὅτι ὁ ε τὸν α μετρεῖ. μὴ γὰρ
μετρείτω ὁ ε τὸν α. καί ἐστιν ὁ ε πρῶτος. ἅπας δὲ
πρῶτος ἀριθμὸς πρὸς ἅπαντα ὃν μὴ μετρεῖ πρῶ-
τός ἐστιν. οἱ ε α ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν.
καὶ ἐπεὶ ὁ ε τὸν δ μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν ζ.
ὁ ε ἄρα τὸν ζ πολλαπλασιάσας τὸν δ πεποίηκεν.
πάλιν ἐπεὶ ὁ α τὸν δ μετρεῖ κατὰ τὰς ἐν τῷ γ μονάδας,
ὁ α ἄρα τὸν γ πολλαπλασιάσας τὸν δ πεποίηκεν. ἀλλὰ
μὴν καὶ ὁ ε τὸν ζ πολλαπλασιάσας τὸν δ πεποίηκεν.
ὁ ἄρα ἐκ τῶν α γ ἴσος ἐστὶ τῷ ἐκ τῶν ε ζ. ἔστιν ἄρα ὡς
ὁ α πρὸς τὸν ε, ὁ ζ πρὸς τὸν γ. οἱ δὲ α ε πρῶτοι. οἱ δὲ
πρῶτοι καὶ ἐλάχιστοι οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχον-
τας ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπό-
μενος τὸν ἑπόμενον. μετρεῖ ἄρα ὁ ε τὸν γ. μετρείτω αὐ-

[illegible]

BIBLIOTHECA BODLEIANA